Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

Ε Υ Μ Ε Ν Ι Ο Ν

ΤΟΝ ΚΡΗΤΑ ΕΝ ΑΘΗΝΑΙΣ ΕΚΛΑΜΨΑΝΤΑ



Ἀθῆναι 2022

ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

Ε Υ Μ Ε Ν Ι Ο Ν

ΤΟΝ ΚΡΗΤΑ ΕΝ ΑΘΗΝΑΙΣ ΕΚΛΑΜΨΑΝΤΑ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΚΓ΄ Μαΐου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

****

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν ἀνεξίκακον, ἡσύχιον, ἐχέφρονα,
ἁπλοῦν τε πρᾶον, ταπεινὸν καὶ εὐσυμπάθητον,
εὐλαβῆ ἱερομόναχον, μελιῤῥύτοις
ἀνυμνήσωμεν ᾠδαῖς, ὡς ἀπλανέστατον
κατευθύντορα πιστῶν πρὸς βίον κρείττονα,
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Εὐμένιε.

Οἱ Οἶκοι.

Ἄνθρωπος οὐρανόφρων
καὶ ἰσάγγελος ὤφθης,
Εὐμένιε, ἀρτίως ἐν κόσμῳ, **(ἐκ γ΄)**
Λοιμωδῶν Νόσων στῦλε λαμπρὲ
τοῦ Νοσοκομείου καὶ πιστῶν ἄριστε
ἰθῦντορ πρὸς τελείωσιν·
διὸ σοὶ ἐκβοῶμεν ταῦτα·

Χαῖρε, τῆς Κρήτης ὁ θεῖος γόνος·
χαῖρε, ἀγάπης ἀστράπτων λύχνος.

Χαῖρε, Νικηφόρου ἀγώνων ὁμόζηλε·
χαῖρε, φιλαρέτου βιώσεως πρόμαχε.

Χαῖρε, δένδρον ἀγλαόκαρπον θεοσδότων δωρεῶν·
χαῖρε, ῥόδον εὐωδέστατον συμπαθείας τῶν λεπρῶν.

Χαῖρε, τῶν Ἀθηναίων τὸν λαὸν ὁ εὐφράνας·
χαῖρε, τῶν χριστωνύμων τὴν πληθὺν ὁ στηρίξας.

Χαῖρε, ἠθῶν ἀμέμπτων κειμήλιον·
χαῖρε, σεπτὸν τῆς χάριτος ἔσοπτρον.

Χαῖρε, πιστῶν ἀπλανὴς ποδηγέτης·
χαῖρε, ἡμῶν πρὸς τὸν Κτίστην μεσίτης·

Χαίροις, μάκαρ Εὐμένιε.

Βλάστημα τῆς ἀσήμου
Ἐθιᾶς κώμης, πάτερ
Εὐμένιε, νῦν σεμνυνομένης
τοῖς σπαργάνοις σου, πάτερ, αὐτὴν
σοῦ τῇ ἰσαγγέλῳ ἀγωγῇ ἔδειξας
καὶ πλήθει θαυμασίων σου
διάσημον, ἀεὶ ὁ ψάλλων·

Ἀλληλούϊα.

Γόνε τῆς νήσου Κρήτης
εὐανθές, θεοφόρε
Εὐμένιε, ἐξήνθησας ῥόδα
ἀγωγῆς ἀκραιφνοῦς, προσευχῆς
καὶ διακονίας τῶν λεπρῶν, στίγματα
ἧς ἐν σαρκίῳ ἔφερες,
πανόσιε· διὸ βοῶμεν·

Χαῖρε, ὀσφράδιον ἐγκρατείας·
χαῖρε, μυράλειπτρον ἀπαθείας.

Χαῖρε, εὐθαλέστατον ἔρνος ἀσκήσεως·
χαῖρε, τιμαλφέστατον σκεῦος συνέσεως.

Χαῖρε, ὅτι στῦλος ἄσειστος ἀνεδείχθης ἀρετῶν·
χαῖρε, ὅτι φάρος πάμφωτος ὤφθης πόνων ἱερῶν·

Χαῖρε, ὁ προσελκύσας Παρακλήτου τὴν χάριν·
χαῖρε, ὁ καταδείξας τῆς καρδίας σου ῥῶσιν.

Χαῖρε, ῥεόντων πάντων ὑπέρτερος·
χαῖρε, παμφώτων δόμων ὁ ἔνοικος.

Χαῖρε, κανὼν προσφορᾶς πρὸς νοσοῦντας·
χαῖρε, εἰκὼν ἀγωγῆς πρὸς ἀλγοῦντας·

Χαίροις, μάκαρ Εὐμένιε.

Δύναμιν δεδεγμένος
οὐρανόθεν ἐκ χρόνων,
Εὐμένιε, τῶν νεανικῶν σου

πρὸς Ἁγίου Νικήτα Μονὴν
βήματά σου, πάτερ, εὐλαβῶς ἴθυνας,
ἐν ᾗ σεμνῶς ἀσκούμενος
ἑκάστοτε Θεῷ ἐβόας·

Ἀλληλούϊα.

Ἔνθεε πάτερ, θείων
δωρεῶν ἠξιώθης,
Εὐμένιε σεπτέ, ὡς πυξίον
πρὸς ἡγούμενον ὑπακοῆς
Μάνδρας μετανοίας σου, ἐν ᾗ κλίμακα
ἀνῆλθες ὁσιότητος,
πανόλβιε πρὸς ὃν βοῶμεν·

Χαῖρε, ἀζύγων ἡ κοσμιότης·
χαῖρε, ὁσίων ἡ ὡραιότης.

Χαῖρε, ὁ διώξας εὐχαῖς σου δαιμόνιον·
χαῖρε, ὁ εὐφράνας σοῖς πόνοις τὸν Ὕψιστον.

Χαῖρε, σάλπιγξ ἡ μεγάφωνος τῆς δυνάμεως Χριστοῦ·
χαῖρε, σύριγξ ἡ ἡδύμολπος καταπτώσεως ἐχθροῦ.

Χαῖρε, φέγγος τὴν νῆσον τῶν Κρητῶν καταυγάζον·
χαῖρε, στῦλος τὸν δῆμον κλονουμένων στηρίζων.

Χαῖρε, φωστὴρ λαμπρὸς ἀγαθότητος·
χαῖρε, λαμπτὴρ πιστῶν νουθετήσεως.

Χαῖρε, ἀσπὶς κατ' ἐσμοῦ δαιμονίων·
χαῖρε, κρηπὶς οὐρανίων χαρίτων·

Χαίροις, μάκαρ Εὐμένιε.

Ζήλῳ πεπληρωμένος
οὐρανίῳ εἰσῆλθες,
Εὐμένιε, εἰς ἱερωσύνην,
ἣν ἐν Μάνδρᾳ Καλυβιανῆς
Τιμοθέου, μάκαρ, ἐκ χειρῶν ἔλαβες,
τῆς Κρήτης ἀρχιποίμενος,
ἐν ἄκρᾳ ταπεινώσει ψάλλων·

Ἀλληλούϊα.

Ἤσκησας θεαρέστως
Κουδουμᾶ ἐν Σεμνείῳ,
Εὐμένιε, ἐν ᾧ ἀπηλλάγης
ἐπηρείας παγκάκου ἐχθροῦ
δι’ εὐχῶν συντόνων σου, σεπτῇ χάριτι
αὐτοῦ ὁσίων, πάντιμε,
πρὸς ὃν πανευλαβῶς βοῶμεν·

Χαῖρε, τὸ εὖχος Ἀστερουσίων·
χαῖρε, τὸ μένος τῶν δαιμονίων.

Χαῖρε, ὁ στρουθὸς Κουδουμᾶ ὁ φιλέρημος·
χαῖρε, ὁ φρουρὸς σὲ τιμώντων ὁ ἄγρυπνος.

Χαῖρε, ὅρμος ἀκλυδώνιστος ἐν πελάγει Λυβικῷ·
χαῖρε, στῦλος Θείας Χάριτος ἐν Σεμνείῳ ἱερῷ.

Χαῖρε, ὁ καταισχύνας πτερνιστὴν τὸν ἀρχαῖον·
χαῖρε, ὁ κατευφράνας ἀσκουμένων τὸν δῆμον.

Χαῖρε, Κρητῶν ὁσίων ἀπαύγασμα·
χαῖρε, λαμπρῶν ἀγώνων φρυκτώρημα.

Χαῖρε, δι’ οὗ εὐσεβοῦντες σκιρτῶσι·
χαῖρε, πρὸς ὃν οὗτοι πίστει βοῶσι·

Χαίροις, μάκαρ Εὐμένιε.

Θραύσας τοῦ μισοκάλου
τὴν ἰσχὺν σῇ ἀσκήσει,
Εὐμένιε, ἠσθένησας, οἴμοι,
ἐκ τῆς λέπρας, ὀφθείσης πηγὴν
καθαγιασμοῦ σου, θαυμαστὲ ὅσιε,
ἣν ἀγογγύστως ἤνεγκας
ὡς δῶρον τοῦ Θεοῦ καὶ ᾖδες·

Ἀλληλούϊα.

Ἴθυνας βήματά σου
πρὸς τὸ νοσοκομεῖον,
Εὐμένιε, ταχὺ νοσημάτων
λοιμωδῶν, ἐν ᾧ θείῳ λεπρῷ,
πάνυ Νικηφόρῳ, ἱερεῦ ἔνθεε,
ἐκθύμως ὑπηρέτησας,
καὶ ἔπιθες λεπροὺς βοᾶν σοι·

Χαῖρε, ἡ σάλπιγξ τῆς συμπαθείας·
χαῖρε, ὁ ὅρπηξ θεοσεβείας.

Χαῖρε, προσφορᾶς πρὸς ἀλγοῦντας ὁ χείμαῤῥος·
χαῖρε, καθαρᾶς βιοτῆς λύχνος πάμφωτος.

Χαῖρε, ὅτι ἀντιλήψει σου ἀνεκούφισας λεπρούς·
χαῖρε, ὅτι Θείᾳ Χάριτι πόνους ἤλασας φρικτούς.

Χαῖρε, ὅτι ἐδείχθης τῆς ἀγάπης λυχνία·
χαῖρε, ὅτι ἐγένου τοῖς νοσοῦσι θυσία.

Χαῖρε, ἠὼς ἀΰλου λαμπρότητος·
χαῖρε, φωτὸς δοχεῖον τῆς χάριτος.

Χαῖρε, πνοὴ ἀνιάτως νοσούντων·
χαῖρε, στοργὴ τῶν ἐν κλίναις κειμένων·

Χαίροις, μάκαρ Εὐμένιε.

Κόποις σου νυχθημέροις
τῶν σεπτῶν Ἀναργύρων,
Εὐμένιε, τοῦ νοσοκομείου
ἐπεράτωσας, πάτερ, Ναόν,
ἐν ᾧ ἱερούργεις ταπεινῶς, ὅσιε,
καθαρισάντων λέπραν σου
τῇ χάριτι Θεοῦ, ᾯ ᾖδες·

Ἀλληλούϊα.

Λάμπων δι' ἐγκρατείας,
τῆς ἀγάπης τῆς θείας,
Εὐμένιε, ἐδέξω τὴν φλόγα
τῆς πατρότητος πνευματικῆς
εὐσεβῶν σπευδόντων ταῖς νουθεσίαις σου
καὶ σοὶ οἰκούσῃ χάριτι,
ὧν ἤνοιξας τὰ χείλη ψάλλειν·

Χαῖρε, ποιμένων ἡ ὡραιότης·
χαῖρε, πατέρων ἡ κοσμιότης.

Χαῖρε, ἰθυντὴρ τῶν πιστῶν ἀπλανέστατος·
χαῖρε, ὁ σβεστὴρ ἐπηρείας τοῦ δαίμονος.

Χαῖρε, κῆρυξ διαπρύσιος συμπαθείας τῶν λεπρῶν·
χαῖρε, μάστιγξ ἀκατάβλητος τῶν ἐχθρῶν τῶν νοητῶν.

Χαῖρε, ὁ θεραπεύων τῶν σπευδόντων σοι ἄλγη·
χαῖρε, ὁ καταστέλλων τὰ χαμαίζηλα πάθη.

Χαῖρε, ἀμνῶν ποιμὴν ὁ φιλόστοργος·
χαῖρε, κλεινῶν ὁσίων ὁμόστεφος.

Χαῖρε, ἐχθρῶν ἐλατὴρ ἀοράτων·
χαῖρε, πιστῶν βοηθὸς τρυχομένων·

Χαίροις, μάκαρ Εὐμένιε.

Μένων ἐν τῇ ἀγάπῃ
τοῦ Χριστοῦ ἄχρι τέλους,
Εὐμένιε, ἑδραῖος ἐδείχθης
τῶν παθῶν τοῦ Ἰὼβ μιμητής,
φέρων ἀγογγύστως νόσων σου στίγματα
ὡς δῶρα ἐπουράνια·
διὸ καὶ καθ' ἑκάστην ᾖδες·

Ἀλληλούϊα.

Νέον ἄστρον ἐφάνης
τῇ Χριστοῦ Ἐκκλησίᾳ,
Εὐμένιε, ὁ σὺν Νικηφόρῳ
καὶ Ἀνθίμῳ σεπτῷ κατοικῶν
ἐν αὐλαῖς Κυρίου καὶ παθῶν ζόφωσιν
διώκων ἱκεσίαις σου
σὺν τούτοις ἐκ τῶν σοὶ βοώντων·

Χαῖρε, ἁπλότητος ἐκμαγεῖον·
χαῖρε, χρηστότητος τὸ ταμεῖον.

Χαῖρε, ἐγκρατείας νεόδμητον οἴκημα·
χαῖρε, Ἐκκλησίας θεόσδοτον τίμημα.

Χαῖρε, κέρας ταπεινώσεως καὶ εὐχῆς καρδιακῆς·
χαῖρε, γέρας θεοδώρητον ἐν δεινοῖς ὑπομονῆς.

Χαῖρε, δεδοξασμένε ἀρετῆς ὑφηγῆτορ·
χαῖρε, λελεμπρυσμένε Κρητονήσου κοσμῆτορ.

Χαῖρε, πηγὴ χαρὰν ἀναβλύζουσα·
χαῖρε, στακτὴ ψυχὰς κατευφραίνουσα.

Χαῖρε, βροτοῖς ὁ παρέχων ἀγάπην·
χαῖρε, πιστοῖς νέμων ἄνωθεν χάριν·

Χαίροις, μάκαρ Εὐμένιε.

Ξένων θαυμάτων πέλεις
αὐτουργὸς ὡς Κυρίῳ
εὐάρεστος, Εὐμένιε μάκαρ,
Ὃν ἐδόξασας σῇ προσφορᾷ
λογικὴν πρὸς ποίμνην τὴν Αὐτοῦ, Ὅσιε,
καὶ προσευχαῖς ἀπαύστοις σου,
ἀείποτε ὁ πίστει ψάλλων·

Ἀλληλούϊα.

Ὅλος ἡγιασμένος
ἐν ἐσχάτοις τοῖς χρόνοις,
Εὐμένιε τρισμάκαρ, ἐπώφθης,
ἐν Ἀθήναις ὡς πνευματικὸς
ἀπλανὴς καὶ πάντων ἀρωγὸς πρόθυμος
λεπρῶν· διὸ ἀγάμενοι
τὸν βίον σου τρανῶς βοῶμεν·

Χαῖρε, ὁ παύων τὰς ἀλγηδόνας·
χαῖρε, καθαίρων τὰς σηπεδόνας.

Χαῖρε, ποταμὸς Παρακλήτου ἀστείρευτος·
χαῖρε, ὁ κρουνὸς ἰαμάτων ὁ ἄφθονος.

Χαῖρε, ὅτι χάριν εἴληφας δαψιλῶς θαυματουργεῖν·
χαῖρε, ὅτι τρίβον ἤνυσας ἀγογγύστως τὴν στενήν.

Χαῖρε, τῶν Ἀθηναίων ὁ χορείας στηρίζων·
χαῖρε, ὁ τῶν Ἀγγέλων τοῖς χοροῖς συγχορεύων.

Χαῖρε, πυξὶς βροτείου συστήματος·
χαῖρε, ἀκτὶς ἀγάπης τοῦ Κτίσαντος.

Χαῖρε, ἠθῶν ἀγαθῶν φυτοκόμος·
χαῖρε, παθῶν χαλεπῶν ῥιζοτόμος·

Χαίροις, μάκαρ Εὐμένιε.

Πλήρης χαρᾶς ὁ δῆμος
εὐσεβῶν μεγαλύνει,
Εὐμένιε, σὸν ἄμεμπτον βίον
καὶ θαυμάτων σου χάριν πολλήν,
ἣν ὡς ταπεινόφρων ἱερεὺς ἔλαβες

ὡς πόνων ἀντιμίσθιον
ἀόκνων σου, Χριστῷ ὁ ψάλλων·

Ἀλληλούϊα.

Ῥεύμασι σῶν δακρύων
τὰς πληγὰς Νικηφόρου,
λεπροῦ ὁσίου ὁ ἀποπλύνας,
ἠξιώθης σαφῶς σὺν αὐτῷ
τὰ ἡμῶν ἐκπλύνειν πάθη, Εὐμένιε,
τῶν πίστει προσιόντων σοι
καὶ πίστει ἀκλινεῖ βοώντων·

Χαῖρε, ὁ χείμαῤῥος τῶν δακρύων·
χαῖρε, ὁ πρόβολος τῶν ὁσίων.

Χαῖρε, λοιμικῶν νόσων θεραπευτήριον·
χαῖρε, ἀλγεινῶν πόνων ἀλεξιτήριον.

Χαῖρε, ῥεῖθρον τὸ νεόῤῥυτον νάματος τοῦ μυστικοῦ·
χαῖρε, βάθρον ἀδιάσειστον ἔρωτος τοῦ θεϊκοῦ.

Χαῖρε, ὁ καταρδεύσας τὰς ψυχὰς εὐσεβούντων·
χαῖρε, ὁ κατευφράνας τοὺς χοροὺς τῶν ἀλγούντων.

Χαῖρε, κρουνὸς νοσούντων ἰάσεως·
χαῖρε, ψαλμὸς Κυρίου δυνάμεως.

Χαῖρε, τὸ φρέαρ χαρὰν ἀναβλύζων·
χαῖρε, τὸ ἔαρ ψυχὰς καθηδύνων·

Χαίροις, μάκαρ Εὐμένιε.

Στέφανον ἀφθαρσίας
ἐκ Θεοῦ δεδεγμένος,
Εὐμένιε σὺν τῷ Νικηφόρῳ
τῷ λεπρῷ, οὗ σαρκίου πληγὰς
ἄχρι τέλους. ἀσκητά, ἔπλυνες,
οἰκήτωρ πόλου πέφηνας
φωναῖς μελισταγέσι ψάλλων·

Ἀλληλούϊα.

Τεῖχος Θεοῦ ἀγάπης,
ταπεινώσεως βάθρον,
ἁπλότητος κρηπὶς καὶ δοχεῖον

ἀρετῶν διαυγὲς πεφηνὼς
ἔλαβες θαυμάτων χάριν, Εὐμένιε·
διὸ σὲ μακαρίζοντες
βοῶμέν σοι ἐν κατανύξει·

Χαῖρε, τὸ ἔρνος τῆς ἀπαθείας·
χαῖρε, ὁ αἶνος τῆς συμπαθείας.

Χαῖρε, ὁ κρατήρ, ὁ κιρνῶν τὰ ἰάματα·
χαῖρε, ὁ φωστήρ, ὁ δεικνὺς πόλου δώματα.

Χαῖρε, δρόσος νεοστάλακτος ἀναψύχουσα βροτούς·
χαῖρε, πύργος ὁ νεόδημος, πυργηρῶν πιστῶν χορούς.

Χαῖρε, ὁ ἰσαγγέλως ἐν Ἀθήναις βιώσας·
χαῖρε, ὁ θεαρέστως τὸν σὸν βίον τελέσας.

Χαῖρε, πολλῶν νοσούντων ἡ ἴασις·
χαῖρε, ψυχῶν ἡμῶν ἀγαλλίασις·

Χαῖρε, φωτὸς τοῦ ἀστέκτου θεάμων·
χαῖρε, κρουνὸς θεοσδότων ναμάτων.

Χαίροις, μάκαρ Εὐμένιε.

Ὕμνοις καὶ μελῳδίαις
σὴν πανέορτον μνήμην
γεραίρομεν, Εὐμένιε μάκαρ,
ὁ ἐν Κρήτῃ καὶ Ἄστει Κλεινῷ
κατευαρεστήσας ἱεροῖς σκάμμασιν
τῷ μόνῳ Παντοκράτορι,
ᾯ πάντες εὐλαβῶς βοῶμεν·

Ἀλληλούϊα.

Φέγγει διακονίας
σῆς πρὸς πάντας νοσοῦντας,
Εὐμένιε, σῆς ποδηγεσίας
εὐσεβῶν σοὶ σπευδόντων ψυχῶν
καὶ σῶν θαυμασίων ἄρτι κατηύγασας
τοὺς ἀνυμνοῦντας πόνους σου
συντόνους καὶ πιστῶς βοῶντας·

Χαῖρε, ὁ φάρος διακονίας·
χαῖρε, ὁ κῆπος τῆς ἰατρείας.

Χαῖρε, ὁ ἀπαύστως ἐν βίῳ ἀσκούμενος·
χαῖρε, ἀενάως πιστοὺς ὁ ῥωννύμενος.

Χαῖρε, ὅτι κατεφώτισας τὴν ἀγέλην Ἀθηνῶν·
χαῖρε, ὅτι κατηγλάϊσας τὴν ὁμήγυριν πιστῶν.

Χαῖρε, ὁ διαλύσας τῶν παθῶν σκοτομήνην·
χαῖρε, ὁ θεραπεύσας τὴν ἀνίατον λύμην.

Χαῖρε, καμνόντων αἴγλη θεόσδοτος·
χαῖρε, νοσούντων φέγγος ἰάσεως.

Χαῖρε, φωτὸς κοινωνὲ τοῦ ἀΰλου·
χαῖρε, λαμπρὸς κληρονόμος τοῦ πόλου.

Χαίροις, μάκαρ Εὐμένιε.

Χαῖρε, ὁ τοῦ Κυρίου
εὐμενῶς καθ' ἑκάστην
δεόμενος, Εὐμένιε μάκαρ,
ὑπὲρ πάντων προσφύγων τῶν σῶν
καὶ τῶν εὐφημούντων μελιχρῶς σκάμματα
ἀσκητικά σου, ὅσιε,
ἀπαύστως ὁ ἐκ βάθους ψάλλων·

Ἀλληλούϊα.

Ψάλλοντες εὐγνωμόνως
σὴν ὑπέρτιμον μνήμην,
Εὐμένιε, τιμῶμεν σοὺς πόνους
πρὸς τελείωσιν τῆς ἀρετῆς
καὶ διακονίαν ταπεινήν, πάντιμε,
τῶν ἀσθενῶν, ὧν ἤνοιγες
τὰ χείλη ἐν χαρᾷ βοᾶν σοι·

Χαῖρε, τὸν ᾆσμα τῶν σῳζομένων·
χαῖρε, τὸ τραῦμα τῶν δαιμονίων.

Χαῖρε, παναρμόνιον ὄργανον νήψεως·
χαῖρε, οὐρανόσταλτον φῶς ταπεινώσεως.

Χαῖρε, ὕμνος μελιστάλακτος ἀντιλήψεως λεπρῶν.
χαῖρε, στῦλος τῆς στηρίξεως κλονουμένων εὐσεβῶν.

Χαῖρε, διακονίας ἀσθενούντων ἡ βάσις·
χαῖρε, τῆς Ἐκκλησίας ἡ νεόφωτος φαῦσις.

Χαῖρε, λουτὴρ Χριστοῦ ἀγαπήσεως·
χαῖρε, σβεστὴρ ἐχθίστου τῆς μήνιος.

Χαῖρε, διάκοσμος τῆς Ἐκκλησίας·
χαῖρε, ὁ σάπφειρος διακονίας·

Χαίροις, μάκαρ Εὐμένιε.

Ὦ Εὐμένιε πάτερ,
συμπαθείας ἀκρότης
πρὸς πάντας ἀλγεινῶς ἀσθενοῦντας, **(ἐκ γ΄)**
ὁ δοξάσας ἀσκήσει Θεὸν
καὶ ποδηγεσίᾳ τοῦ λαοῦ, πάρεχε
ἐξ ὕψους ῥῶσιν ἅπασι
καὶ δύναμιν τοῖς ἐκβοῶσιν·

Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν ἀνεξίκακον, ἡσύχιον, ἐχέφρονα,
ἁπλοῦν τε πρᾶον, ταπεινὸν καὶ εὐσυμπάθητον,
εὐλαβῆ ἱερομόναχον, μελιῤῥύτοις
ἀνυμνήσωμεν ᾠδαῖς, ὡς ἀπλανέστατον
κατευθύντορα πιστῶν πρὸς βίον κρείττονα,
πόθῳ κράζοντες· Χαίροις, μάκαρ Εὐμένιε.

Δίστιχον.

**Χαίροις, Εὐμένιε, σὺν τῷ Μακαρίῳ
καὶ Γεωργίῳ, ἔκραξε Χαραλάμπης.**

ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ

Ἀριθμ. Καταλ. Χ 193 /24 – 2 -22